χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ᾽
ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ
γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. [16]λούσασθε, καθαροὶ γένεσθε, 16
ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλ-
μῶν μου, παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, [17]μάθετε καλὸν ποιεῖν, 17
ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ καὶ δι-
καιώσατε χήραν· [18]καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει κύριος, καὶ 18
ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν
δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. [19]καὶ ἐὰν θέλητε καὶ 19
εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· [20]ἐὰν δὲ μὴ θέλητε 20
μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα
κυρίου ἐλάλησεν ταῦτα.
[21]Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιων, πλήρης κρίσεως, ἐν ᾗ 21
δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί. [22]τὸ ἀργύριον ὑμῶν 22
ἀδόκιμον· οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι· [23]οἱ ἄρχοντές 23
σου ἀπειθοῦσιν, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες
ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες καὶ κρίσιν χηρῶν οὐ προσ-
έχοντες. [24]διὰ τοῦτο τάδε λέγει ὁ δεσπότης κύριος σαβαωθ Οὐαὶ 24
οἱ ἰσχύοντες Ισραηλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπ-
εναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω. [25]καὶ ἐπάξω τὴν 25
χεῖρά μου ἐπὶ σὲ καὶ πυρώσω σε εἰς καθαρόν, τοὺς δὲ ἀπειθοῦντας
ἀπολέσω καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ καὶ πάντας ὑπερη-
φάνους ταπεινώσω. [26]καὶ ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρό- 26
τερον καὶ τοὺς συμβούλους σου ὡς τὸ ἀπ᾽ ἀρχῆς· καὶ μετὰ ταῦτα
κληθήσῃ Πόλις δικαιοσύνης, μητρόπολις πιστὴ Σιων. [27]μετὰ γὰρ 27
κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς καὶ μετὰ ἐλεημοσύνης·
[28]καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγ- 28
καταλείποντες τὸν κύριον συντελεσθήσονται. [29]διότι αἰσχυνθήσονται 29
ἐπὶ τοῖς εἰδώλοις αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπῃσχύνθησαν
ἐπὶ τοῖς κήποις αὐτῶν, ἃ ἐπεθύμησαν· [30]ἔσονται γὰρ ὡς τερέβιν- 30
θος ἀποβεβληκυῖα τὰ φύλλα καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων·
[31]καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στιππύου καὶ αἱ ἐργασίαι 31

15 τας χ./εκτεινητε] tr. B*C* | χειρας] + υμων *L* | προς με > B*C* || 17 χηρα B*Q || 18 και $2^0$] > B, pr. δη *L*† (in *O* sub ※) | ως ult.] ωσει S^c*C* || 21 κρισεως] + και αληθιας S*† || 22 αδοκιμον] + αι πολεις υμων πυρικαυστοι A†: ex 7 || 23 χηρων B*LC*] -ρας SAQ = α′ σ′ θ′ || 24 ο δεσπ. κυρ. σαβ.] κυρ. ο δεσπ. σαβ. B*L* (+ ο δυναστης του ισραηλ *L*) | ισραηλ] ιερουσαλημ A†: ιλημ pro ιηλ || 25 σε $2^0$ > B*C* | και ult. — fin. > B, ταπεινωσω > S**C* || 26 σιων trahit 𝔐 ad 27 || 27 και] + η αποστροφη αυτης S* || 29 αισχυνθ.] pr. κατ AQ = θ′ | επι(Q εν) τοις ειδ.] απο των ειδωλων BS^c*C* = α′ σ′ θ′ | επησχυνθησαν Q] επεσχ. (sic) S*†, επαισχ. (sic) *C*† et corrector posterior codicis S, ησχ. B†; επαισχυνθησονται A, αισχυνθησονται *L* et corrector prior codicis S (εσχ.) | αυτων ult. AS^c*L*] > BS*Q*C* | α ult.] + αυτοι S*†